θὲς μόνον ἢ ζώνην ⟨ἢ⟩ ἐνώτιον ἤ τι τοιοῦτον
σύσσημον †τὸ δ' ὁρᾶν μὴ μόνον οὐ λέγομεν.†
ἡμετέρη σὺ Μέδουσα· λιθούμεθα †πάντα πάλαι που†
οὐ Γοργοῦς, γόγγρου δ' οἱ μέλεοι λοπάδι.

## X

⟨τοῦτο⟩ Θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητής, μίμων κὴν θυμέλῃσι χάρις.
τυφλὸς ὑπαὶ γήρως† εἶχε καὶ Σκίρπαλον υἱόν
νήπιον τ' ἐκάλει Σκίρπαλος Εὐπαλάμου·†
ἀείδειν αὐτοῦ τὰ γενέθλια, τοῦτο γὰρ εἶχεν
†πανμαρπᾶν ηδυσμα σημανέων†
ηὔλει δὲ Γλαύκης μεμεθυσμένα παίγνια Μουσέων
ἢ τὸν ἐν ἀκρήτοις Βάτταλον ἡδυπότην
ἢ καὶ Κώταλον ἢ καὶ Πάκαλον. ἀλλὰ Θέωνα
τὸν καλαμαυλήτην εἴπατε "χαῖρε Θέων."

## XI [Asclep. XL G.–P.]

Εὐφρὼ καὶ Θαῖς καὶ Βοίδιον, αἱ Διομήδους
γραῖαι ναυκλήρων ὁλκάδες εἰκόσοροι,
Ἄγιν καὶ Κλεοφῶντα καὶ Ἀνταγόρην ἓν' ἑκάστη
γυμνούς, ναυηγῶν ἥσσονας, ἐξέβαλον.
ἀλλὰ σὺν αὐταῖς νηυσὶ τὰ ληστρικὰ τῆς Ἀφροδίτης
φεύγετε, Σειρήνων αἵδε γὰρ ἐχθρότεραι.